# Oct 1 - **Luke 22:54-62**
## **Peter's Denial**

| | |
|---|---|
| 54 They seized him, and led him away, and brought him into the high priest's house. But Peter followed from a distance.<br>55 When they had kindled a fire in the middle of the courtyard, and had sat down together, Peter sat among them.<br>56 A certain servant girl saw him as he sat in the light, and looking intently at him, said, "This man also was with him."<br>57 He denied Jesus, saying, "Woman, I don't know him." | 54 Συλλαβόντες δὲ αὐτὸν ἤγαγον καὶ εἰσήγαγον εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως· ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν.<br>55 περιαψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς καὶ συνκαθισάντων ἐκάθητο ὁ Πέτρος μέσος αὐτῶν.<br>56 ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς καὶ ἀτενίσασα αὐτῷ εἶπεν Καὶ οὗτος σὺν αὐτῷ ἦν·<br>57 ὁ δὲ ἠρνήσατο λέγων Οὐκ οἶδα αὐτόν, γύναι. |




| | |
|---|---|
| 58 After a little while someone else saw him, and said, "You also are one of them!" But Peter answered, "Man, I am not!" | 58 καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη Καὶ σὺ ἐξ αὐτῶν εἶ· ὁ δὲ Πέτρος ἔφη Ἄνθρωπε, οὐκ εἰμί. |

| | |
|---|---|
| 59 After about one hour passed, another confidently affirmed, saying, "Truly this man also was with him, for he is a Galilean!"<br>60 But Peter said, "Man, I don't know what you are talking about!" Immediately, while he was still speaking, a rooster crowed. | 59 καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς ἄλλος τις διϊσχυρίζετο λέγων Ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ ἦν, καὶ γὰρ Γαλιλαῖός ἐστιν.<br>60 εἶπεν δὲ ὁ Πέτρος Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ ἐφώνησεν ἀλέκτωρ. |

| | |
|---|---|
| 61 The Lord turned, and looked at Peter. Then Peter remembered the Lord's word, how he said to him, "Before the rooster crows you will deny me three times."<br>62 He went out, and wept bitterly. | 61 καὶ στραφεὶς ὁ κύριος ἐνέβλεψεν τῷ Πέτρῳ, καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ κυρίου ὡς εἶπεν αὐτῷ ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι σήμερον ἀπαρνήσῃ με τρίς.<br>62 [καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς.] |


English text: World English Bible (public domain) Greek text: Westcott-Hort Greek New Testament (public domain)
Graphics: Copyright Stéphane Tibi and his licensors. All rights reserved. www.studymaps.org


